.

www.melodos.com

Με αυτά τα χρώματα τοῦ ΙΕΡΕΩΣ και ΔΙΑΚΟΝΟΥ.

Με αυτά τα χρώματα τοῦ ΧΟΡΟΥ και ΑΝΑΓΝΩΣΤΟΥ

Με αυτά τα χρώματα οι Τίτλοι, οδηγίες, πληροφορίες, τυπικό.

Τα ηχητικά κουμπιά αποκρύβονται από το μεγάφωνο της εργαλειοθήκης και τα μουσικά από το μουσικό κουμπί.

Δευτέρα 11 Μαΐου 2026

Ήχος εβδομάδος δ΄.

Τῌ ΙΑ' ΤΟΥ ΜΗΝΟΣ ΜΑΪΟΥ

Μνήμη τῶν Ἁγίων, ἐνδόξων ἰσαποστόλων καὶ αὐταδέλφων Κυρίλλου καὶ Μεθοδίου, τῶν Θεσσαλονικέων, φωτιστῶν τῶν Σλάβων καὶ ἁπάσης Εὐρώπης.

Ακολουθία ποιηθεῖσα ἐν Ἁγίῳ Ὄρει ὑπὸ Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου, ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, καὶ ἐκδοθεῖσα προνοίᾳ τοῦ Σεβ. Μητροπολίτου Θεσσαλονίκης κ. Παντελεήμονος κατόπιν ἐγκρίσεως τῆς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος».

ΤΗ ΔΕΥΤΕΡΑ ΤΗΣ Ε' ΕΒΔΟΜΑΔΟΣ ΠΡΩΪ

[Εάν γίνεται αγρυπνία και ο Όρθρος είναι συνημένος στον προηγηθέντα Εσπερινό, πήγαινε κατευθείαν στο Δόξα ἐν ὑψίστοις Θεῷ και τον Εξάψαλμο]

ΟΡΘΡΟΣ

ὁ Ἱερεὺς ἐκφωνεῖ·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νύν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ:

Ἀμήν.

Ψάλλεται το "Χριστός Ανέστη" άπαξ υπό του ιερέως και ανά μίαν υπό των χορών.

ΙΕΡΕΥΣ:

Ἦχος πλ. α

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

**ΧΟΡΟΣ:**

**Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.**

**και πάλιν**

**Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτω θάνατον πατήσας, καὶ τοὶς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.**

**και ευθύς:**

**Δόξα... Καὶ νῦν...**

**Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.**

**Κύριε ἐλέησον (τρίς)**

**Δ όξα... Καὶ νῦν...**

**Π άτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπί τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.**

**ΙΕΡΕΥΣ**

**Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...**

**ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.**

**Τροπάρια**

**Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοὶς βασιλεύσι, κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.**

**Δόξα...**

**Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τὴ ἐπωνύμω σου καινὴ πολιτεία, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός, εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.**

**Καὶ νύν...**

**Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδης, ἀγαθή, τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε, στήριξον ὀρθοδόξων πολιτείαν, σῶζε οὓς ἐκέλευσας βασιλεύειν, καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην, διότι ἔτεκες τὸν Θεόν, μόνη εὐλογημένη.**

**ΙΕΡΕΥΣ:**

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

ΧΟΡΟΣ:

Κύριε, ἐλέησον. (γ')

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Κύριε, ἐλέησον. (γ')

Ἔτι δεόμεθα ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν..., καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε, ἐλέησον. (γ')

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ:

Ἀμήν. Ἐν ὀνόματι Κυρίου, εὐλόγησον, Πάτερ.

ΙΕΡΕΥΣ:

Δόξα τὴ ἁγία καὶ ὁμοουσίω, καὶ ζωοποιῶ καὶ ἀδιαιρέτω Τριάδι, πάντοτε, νύν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ:

Ἀμήν.

Καὶ ἀρχόμεθα τοῦ Ἑξαψάλμου, ἄνευ μετανοιῶν, πάσῃ σιωπῇ καὶ κατανύξει ἀκροώμενοι.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. (ἐκ γ')

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. (δίς)

Και διαβάζει τον εξάψαλμο

ΨΑΛΜΟΣ 3

Κύριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ᾿ ἐμέ· πολλοὶ λέγουσι τῇ ψυχῇ μου· οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ. Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ. Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου. Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ τῶν κύκλῳ συνεπιτιθεμένων μοι. Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου, ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας. Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα ἐξηγέρθην ὅτι κύριος ἀντιλήμψεταί μου.

## ΨΑΛΜΟΣ 37

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ᾿ ἐμὲ τὴν χεῖρά σου· οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου, οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου. Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ᾿ ἐμέ. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου· ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην. Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου· ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου. Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη. Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ᾿ ἐμοῦ. Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν· καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν. Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ· καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς. Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα· σὺ εἰκακούσῃ, Κύριε ὁ Θεός μου. Ὅτι εἶπα· μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου· καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ᾿ ἐμὲ ἐμεγαλοῤῥημόνησαν. Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μού ἐστι διαπαντός. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου. Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως· οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην. Μὴ ἐγκαταλίπῃς με, Κύριε· ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾿ ἐμοῦ· πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

Μὴ ἐγκαταλίπης μὲ κύριε ὁ Θεός μου μὴ ἀποστὴς ἀπ' ἐμοῦ
Πρόσχες εἰς τὴν βοήθειάν μου κύριε τῆς σωτηρίας μου

## ΨΑΛΜΟΣ 62

Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω· ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ. Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου. Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς· τὰ χείλη μου ἐπαινέσουσί σε. Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου. Ὡς ἐκ στέατος καὶ πιότητος

ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου. Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ· ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς· παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται. Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σὲ ὅτι ἐγενήθης βοηθός μου καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.

Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

**Δόξα... Καὶ νῦν...**

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα, Δόξα σοὶ ὁ Θεὸς

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

**Δόξα... Καὶ νῦν...**

## ΨΑΛΜΟΣ 87

Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου· εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου. Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε· προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος ἐν νεκροῖς ἐλεύθερος, ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου. Ἐπ᾽ ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ᾽ ἐμέ. Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ᾽ ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς, παρεδόθην καὶ οὐκ ἐξεπορευόμην. Οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας· ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι; Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ; Κἀγὼ πρὸς σέ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε. Ἱνατί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ; Πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου, ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην. Ἐπ᾽ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με, ἐκύκλωσάν με ὡσεὶ ὕδωρ ὅλην τὴν ἡμέραν, περιέσχον με ἅμα. Ἐμάκρυνας ἀπ᾽ ἐμοῦ φίλον καὶ πλησίον

καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.
Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου
Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου

## ΨΑΛΜΟΣ 102

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον καί, πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ· τὸν εὐιλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου· τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς· τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου. Ποιῶν ἐλεημοσύνας ὁ Κύριος καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωυσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ· οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν, ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν· καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν. Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν, ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν. Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ· ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει· ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν, καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ. Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ· εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.
Ἐν παντὶ τόπω τῆς δεσποτείας αὐτοῦ εὐλόγει ἡ ψυχή μου τὸν κύριον.

## ΨΑΛΜΟΣ 142

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου· καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου,

ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωΐ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα· γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου· ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου· τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με, ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι. Εἰσάκουσον μου, Κύριε, ἐν τῇ δικαιοσύνη σου, καὶ μὴ εισέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. (δίς)

Τὸ πνεύμά σου τὸ ἀγαθὸν ὁδηγήσει μὲ ἐν γῆ εὐθεῖᾳ

Δόξα... Καὶ νύν...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοὶ ὁ Θεός (ἐκ γ').

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοί.

ΔΙΑΚΟΝΟΣ

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ:

Κύριε, ἐλέησον.

Ὑπέρ τῆς ἄνωθεν εἰρήνης, καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπέρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπέρ τοῦ ἁγίου οἴκου τούτου, καί τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπέρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπέρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν ..., τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καί τοῦ Λαοῦ, τοῦ Κυρίου

δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὑπέρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὑπέρ τῆς πόλεως (Μονής, Κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὑπέρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Κύριε, ἐλέησον.
Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

**ΧΟΡΟΣ:**

Σοὶ Κύριε.

**ΙΕΡΕΥΣ**

Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**ΧΟΡΟΣ:**

Ἀμήν.

Επίλεξε ή PAUSE

ψάλλομεν τετράκις με στίχους το

Ἦχος πλ α΄

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι

Κυρίου.

Στίχ, α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Ἀπολυτίκιον τῶν Ἁγίων.

Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Ἀποστόλων τὸν ζῆλον ἐπιδειξάμενοι, ἐπὶ τὰς χώρας τῶν Σλάβων Εὐαγγελίου τὸ φῶς, διηυγάσατε λαμπρῶς θείῳ κηρύγματι, Θεσσαλονίκης οἱ βλαστοί, καὶ ἀστέρες φαεινοί, Μεθόδιε σὺν Κυρίλλῳ, αὐτάδελφοι θεηγόροι, Ἐκκλησιῶν ἡ σεμνοπρέπεια.

Δόξα...

Ἀπολυτίκιον τῶν Ἁγίων.

Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Ἀποστόλων τὸν ζῆλον ἐπιδειξάμενοι, ἐπὶ τὰς χώρας τῶν Σλάβων Εὐαγγελίου τὸ φῶς, διηυγάσατε λαμπρῶς θείῳ κηρύγματι, Θεσσαλονίκης οἱ βλαστοί, καὶ ἀστέρες φαεινοί, Μεθόδιε σὺν Κυρίλλῳ, αὐτάδελφοι θεηγόροι, Ἐκκλησιῶν ἡ σεμνοπρέπεια.

Καὶ νῦν...της εορτής

Ἀπολυτίκιον Ἦχος πλ δ'

Μεσούσης τῆς ἑορτῆς, διψῶσάν μου τὴν ψυχήν, εὐσεβείας πότισον νάματα ὅτι πᾶσι Σωτὴρ ἐβόησας· ὁ διψῶν, ἐρχέσθω πρός με καὶ πινέτω· Ἡ πηγὴ τῆς ζωῆς, Χριστὲ ὁ Θεὸς δόξα σοι.

ΔΙΑΚΟΝΟΣ

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ:

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε, ἐλέησον.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ

τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

ΙΕΡΕΥΣ

Ὅτι σὸν τὸ κράτος καί σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ:

Ἀμήν.

Ψάλομε τόσες ομάδες καθισμάτων όσα είναι και τα τα καθίσματα του Ψαλτηρίου που ορίσθηκε να στιχολογούνται αυτή την περίοδο.

Μετὰ τὴν α΄ Στιχολογίαν

Κάθισμα. Ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Σοφίας θεϊκῆς, τῷ φωτὶ λαμπρυνθέντες, τῶν Σλάβων φωτισταί, καὶ διδάσκαλοι θεῖοι, Μεθόδιε καὶ Κύριλλε, ἀληθῶς ἀνεδείχθητε. Ὅθεν ἅπασα, ἡ τοῦ Χριστοῦ Ἐκκλησία, μέλπει χαίρουσα, ὑμῶν τὴν πάνσεπτον μνήμην, Θεὸν μεγαλύνουσα.

Δόξα... Καὶ νῦν...

Κάθισμα Ἦχος δ'

Ταχὺ προκατάλαβε.

Ὁ πάντων ἐπιστάμενος, τῶν καρδιῶν λογισμοὺς ἐν μέσῳ ἀνέκραζε τοῦ ἱεροῦ ἑστηκώς, τοῖς ψεύσταις λέγων ἀλήθειαν· Τί ζητεῖτε πιάσαι, ἐμὲ τὸν ζωοδότην; ἑορτῆς μεσαζούσης, ἐκβοῶν παρρησίᾳ· Μὴ τὴν κατ' ὄψιν κρίσιν κρίνετε παράνομοι.

Μετὰ τὴν β΄ Στιχολογίαν

Κάθισμα. Ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἐνδεδυμένοι Παρακλήτου τὴν χάριν, χερσὶν τοῦ θείου Ἱεράρχου Φωτίου, ἐπὶ τὰ ἔθνη τὰ τῶν Σλάβων ἀπεστάλητε, οἷά περ Ἀπόστολοι, τοῦ Χριστοῦ θεηγόροι, καὶ τὸ Εὐαγγέλιον ἐκηρύξατε πᾶσι, σὺν Μεθοδίῳ Κύριλλε σοφέ· ὅθεν συμφώνως ὑμᾶς μακαρίζομεν.

Δόξα...

Καὶ νῦν...

Κάθισμα τῆς Μεσοπεντηκοστῆς

Ἦχος πλ. δ' Τὴν Σοφίαν καὶ Λόγον.

Ἡ Σοφία ὁ Λόγος ὁ τοῦ Πατρός, ὁ καὶ δοὺς Ἀποστόλοις ῥῆμα Θεοῦ, κηρῦξαι

τοῖς πέρασι, τὴν ἐν γῇ αὐτοῦ ἔλευσιν ὑπὸ πλάνων Ἑβραίων, μανίᾳ ὑβρίζετο, δαιμονῶν καὶ πλάνος, φρικτῶς λοιδορούμενος, ὃς ἀνεξικάκως, πρὸς αὐτοὺς ἀνεβόα· Μὴ κρίνετε ἄκριτον, κατ' ἐμοῦ κρίσιν ἄνομοι. Πρὸς αὐτὸν οὖν βοήσωμεν· Φιλάνθρωπε Χριστὲ ὁ Θεός, τῶν πταισμάτων ἄφεσιν κατάπεμψον, τοῖς ἀνυμνοῦσιν ἐν πίστει, τὴν ἀνείκαστον δόξαν σου.

**Μετὰ τὸν Πολυέλεον**

**Κάθισμα. Ἦχος δ'.**

**Κατεπλάγη Ἰωσήφ.**

Ἀποστόλων μιμηταί, καὶ πλανωμένων ὁδηγοί, καὶ Κυρίου συνεργοί, πρὸς σωτηρίαν τῶν πολλῶν, κατὰ τὸν Παῦλον τὸν μέγαν ἀνεδείχθητε· ὅθεν πρὸς τὸ φῶς, τῆς θείας πίστεως, θείαις διδαχαῖς καθωδηγήσατε, τοὺς ἐν νυκτὶ τῆς ἀπάτης καθεύδοντας, πόνοις πολλοῖς ὁμιλήσαντες, Κύριλλε Πάτερ, σὺν Μεθοδίου, θεομακάριστοι αὐτάδελφοι.

**Δόξα...**

**Καὶ νῦν...**

**Κάθισμα Ἦχος πλ α'**

**Τὸν συνάναρχον Λόγον.**

Ὁ Δεσπότης τῶν ὅλων ἐν τῷ ναῷ ἑστηκώς, ἑορτῆς μεσαζούσης, Πεντηκοστῆς τῆς σεπτῆς, τοῖς Ἑβραίοις προσλαλῶν, διελέγχει τρανῶς, ἐν παρρησίᾳ πολλῇ, ὡς Βασιλεὺς ὢν καὶ Θεός, τὴν τύραννον αὐτῶν τόλμαν, ἡμῖν δὲ πᾶσι δωρεῖται, δι' εὐσπλαγχνίαν τὸ μέγα ἔλεος.

**Ἀναβαθμοὶ τὸ α´ Ἀντίφωνον τοῦ δ´ Ἤχου**

Σταντίτσας'

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. (δίς)

**Δόξα...**

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ τριαδικῇ Μονάδι ἱεροκρυφίως.

**Καὶ νῦν...**

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.

**Προκείμενον·**

Τὸ στόμα μου λαλήσει σοφίαν... (δίς)

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν...

Τὸ στόμα μου λαλήσει σοφίαν...

ΔΙΑΚΟΝΟΣ

Τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ:

Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ

Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Επίλεξε ή PAUSE

ΧΟΡΟΣ:

Ἀμήν.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον (ἐκ β').

Στίχ.Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ·

Αἰνεσάτω πνοὴ, πᾶσα τὸν Κύριον.

ΔΙΑΚΟΝΟΣ

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

ΧΟΡΟΣ:

Κύριε, ἐλέησον (γ').

ΔΙΑΚΟΝΟΣ:

Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

ΙΕΡΕΥΣ

Εἰρήνη πᾶσι.

Ἐκ τοῦ κατὰ Λουκᾶν

θ΄ 1 - 6

ΔΙΑΚΟΝΟΣ

Πρόσχωμεν.

ΧΟΡΟΣ:

Δόξα σοί, Κύριε, δόξα σοί.

Τῷ καιρῷ ἐκείνῳ, συγκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια καὶ νόσους θεραπεύειν· καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ Θεοῦ καὶ

ἰᾶσθαι τοὺς ἀσθενοῦντας, καὶ εἶπε πρὸς αὐτούς· Μηδὲν αἴρετε εἰς τὴν ὁδόν, μήτε ῥάβδους μήτε πήραν μήτε ἄρτον μήτε ἀργύριον μήτε ἀνὰ δύο χιτῶνας ἔχειν. καὶ εἰς ἣν ἂν οἰκίαν εἰσέλθητε, ἐκεῖ μένετε καὶ ἐκεῖθεν ἐξέρχεσθε. καὶ ὅσοι ἐὰν μὴ δέξωνται ὑμᾶς, ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν ἀποτινάξατε εἰς μαρτύριον ἐπ' αὐτούς. ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ.

**ΧΟΡΟΣ:**

**Δόξα σοί, Κύριε, δόξα σοί.**

**ὁ Ἀναγνώστης ἀναγινώσκει το:**

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον, Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον.
Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν.
Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν.
Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν, ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ, χαρὰ ἐν ὅλω τῶ κόσμω.
Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ.
Σταυρὸν γὰρ ὑπομεῖνας δι' ἡμᾶς, θανάτω θάνατον ὤλεσεν.

**ο Ν΄ Ψαλμός χύμα.**

## Ν’ ΨΑΛΜΟΣ

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου·
ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.
Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ·
τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα·
τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Τα επόμενα ψαλτά

Δόξα. Ταῖς τῶν Διδασκάλων...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Τὸν σπόρον τῆς πίστεως, κεχερσωμέναις καρδίαις σπείραντες, τοῦ ἀμπελῶνος Χριστοῦ ἐργάται, δόκιμοι ὤφθητε, αὐτάδελφοι πάνσοφοι· καὶ ὡς καλοὶ στρατιῶται Κυρίου, ἐν τῷ θείῳ κηρύγματι κακοπαθήσαντες, δαψιλῆ καρποφορίαν, Χριστῷ προσηνέγκατε, τῶν ἀνασωθέντων τὰ πλήθη. Ἀλλ' ὦ Κύριλλε καὶ Μεθόδιε, ἀποστολικῶν ἐπάθλων κοινωνοί, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΔΙΑΚΟΝΟΣ

Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου...

ΧΟΡΟΣ τέσσερις τριάδες:

Επίλεξε ή PAUSE

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ

Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ...

ΧΟΡΟΣ:

Ἀμήν.

ΚΑΝΟΝΕΣ

Το μέγιστο 3 κανόνες.

Σήμερα διαβάζονται ή ψάλλονται 3 κανόνες

---

ΩΔΗ Α΄ ΚΑΝΟΝΩΝ

Κανὼν τῆς Μεσοπεντηκοστῆς πρῶτος

Ἦχος δ΄

Οὗ ἡ ἀκροστιχὶς

Μέσην ἑορτῶν τῶν μεγίστων αἰνέσω,

Ποίημα Θεοφάνους

Ὁ Εἱρμός.

(ο είρμός του πρώτου κανόνα ψάλλεται)

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος, ἀβρόχοις ἴχνεσιν, ὁ παλαιὸς πεζεύσας Ἰσραήλ, σταυροτύποις Μωσέως χερσί, τοῦ Ἀμαλὴκ τὴν δύναμιν, ἐν τῇ ἐρήμῳ ἐτροπώσατο.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι

Μεγάλαι τῆς ὑπὲρ νοῦν σου Δέσποτα, θείας σαρκώσεως, εὐεργεσίαι λάμπουσιν ἡμῖν, δωρεαί τε καὶ χάριτες, καὶ θεϊκαὶ λαμπρότητες, ἀγαθοδότως ἀναβρύουσαι.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι

Ἐπέστης μαρμαρυγὰς Θεότητος, ἐξαποστέλλων Χριστέ, τῆς ἑορτῆς ἐν μέσῳ προφανῶς· ἑορτὴ γὰρ χαρμόσυνος, τῶν σῳζομένων πέφυκας, καὶ σωτηρίας ἡμῖν πρόξενος.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι

Σοφία, δικαιοσύνη, Κύριε, καὶ ἀπολύτρωσις, παρὰ Θεοῦ σὺ γέγονας ἡμῖν, ἀπὸ γῆς πρὸς οὐράνιον, διαβιβάζων ὕψωμα, καὶ Πνεῦμα θεῖον χαριζόμενος.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς
Ἡ σάρξ σου διαφθορὰν ἐν μνήματι, οὐκ εἶδε Δέσποτα, ἀλλ' ὡς συνέστη ἄνευθεν σπορᾶς, τὴν φθορὰν οὐκ ἐδέξατο, ἀκολουθίᾳ φύσεως ὑπερουσίως μὴ δουλεύσασα.
Κανὼν τῶν Ἁγίων Κυρίλλου καὶ Μεθοδίου.
Ἦχος δ´
ἔχων τήν δε Ἀκροστιχίδα·
Κύριλλον μέλπω σὺν Μεθοδίῳ. Γερασίμου.
Ἀνοίξω τὸ στόμα μου.
Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν
Καμάτων τὰ ἔπαθλα, παρὰ Θεοῦ κομιζόμενοι, καὶ θέσει θεούμενοι, φῶς μοι αἰτήσασθε, Πάτερ Κύριλλε, ὁμοῦ σὺν Μεθοδίῳ, ὑμῶν μακαρίζοντι, τὰ κατορθώματα.
Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν
Ὑμνεῖ μεγαλύνουσα, Θεσσαλονίκη ἡ ἔνδοξος, τοῦ βίου τὴν ἔλλαμψιν, καὶ ἀριστείας ὑμῶν· ταύτης γόνοι γάρ, περίδοξοι ὀφθέντες, Χριστῷ προσηνέγκατε, καρπὸν πολύτιμον.
Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν
Ῥημάτων τοῦ Πνεύματος, ὑφηγηταὶ καὶ διδάσκαλοι, Μεθόδιε Ὅσιε, καὶ Πάτερ Κύριλλε, ἀνεδείχθητε, καὶ Σλάβων τὰς χορείας, σαφῶς ἐμυήσατε, γνῶσιν, τὴν ἔνθεον.
Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς
Ἰσχὺς ἀπροσμάχητος, καὶ προστασία σωτήριος, ἡ σκέπη σου Ἄχραντε, πέλει τοῖς δούλοις σου, ἀποτρέπουσα, ἐχθρῶν τάς ἐπηρείας· διὸ τὰ θαυμάσια, τὰ σὰ κηρύττομεν.
Ἕτερος Κανὼν τῶν Ἁγίων Κυρίλλου καὶ Μεθοδίου.
Ἦχος πλ δ´
οὗ ἡ Ἀκροστιχίς·
Θεσσαλονίκη ἐν ὑμῖν χαίρει. Γερασίμου.
Ἁρματηλάτην Φαραώ.
Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν
Θρόνῳ τῷ θείῳ παρεστῶτες Ἅγιοι, τοῦ φωτοδότου Χριστοῦ, καὶ τοῦ ὑπὲρ λόγον φωτισμοῦ πληρούμενοι, Κύριλλε καὶ Μεθόδιε, σκοτασμοῦ παθημάτων, ταῖς φωτοφόροις λιταῖς ὑμῶν, τοὺς ὑμᾶς τιμῶντας λυτρώσασθε.
Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν
Ἐξ οὐρανίων νοερῶς προκύψατε, ἁψίδων Ἅγιοι, καὶ τοὺς μετὰ πόθου τῷ ναῷ

προστρέχοντας, ὑμῶν ἐπευλογήσατε, εὐλογίαις ἁγίαις, ὡς ἱεροὶ Ἰσαπόστολοι, Κύριλλε καὶ θεῖε Μεθόδιε.

Δόξα...

Σὺν προθυμίᾳ καὶ καμάτοις Ἅγιοι, τοῦτον τὸν οἶκον ὑμῶν, ὡς τοῦ Παρακλήτου θεῖον ἐνδιαίτημα, Κύριλλε καὶ Μεθόδιε, ἀνεγείραμεν πόθῳ, ἐν ᾧ πιστῶς συνερχόμενοι, θείας εὐφροσύνης πληρούμεθα.

Καὶ νῦν...

Σεσαρκωμενον ἐξ ἁγνῶν αἱμάτων σου, τὸν πρῴην ἄσαρκον, Λόγον τετοκυῖα, τοῦ Πατρὸς τὸν σύνθρονον, Ἁγνὴ καὶ ὁμοούσιον, ὡς Υἱόν σου δυσώπει, ἁμαρτιῶν μοι δωρήσασθαι, καὶ τῶν πειρασμῶν ἀπολύτρωσιν.

---

## ΩΔΗ Γ΄ ΚΑΝΟΝΩΝ

Κανὼν τῆς Μεσοπεντηκοστῆς πρῶτος

Ἦχος δ΄

Ὁ Εἱρμός.

Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα· Σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι

Ναμάτων ζωοποιῶν, τῇ Ἐκκλησίᾳ τὰς πηγὰς ἤνοιξας· Εἴ τις διψᾷ, πρόθυμος, ἴτω καὶ πινέτω, βοῶν Ἀγαθέ.

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι

Ἐκ γῆς μὲν πρὸς οὐρανόν, ἀνυψωθῆναι προφανῶς ἔλεγες· ἐξ οὐρανοῦ Πνεῦμα δέ, πέμπειν ἐπηγγείλω τὸ ἅγιον.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς

Ὁ φύσει ζωοποιός, καὶ ἐκ Παρθένου γεννηθεὶς Κύριος, πᾶσι πιστοῖς δεδώρηται, τὴν ἀθανασίαν ὡς εὔσπλαγχνος.

Κανὼν τῶν Ἁγίων Κυρίλλου καὶ Μεθοδίου.

Ἦχος δ΄

Τοὺς σοὺς ὑμνολόγους.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν

Λαμπρότητι βίου καὶ σοφίας, ποικίλης τῷ πλούτῳ ἀληθῶς, κοσμούμενοι μακάριοι, πορείαν ἰσαπόστολον, Κύριλλε καὶ Μεθόδιε, περιφανῶς ἀνελάβετε.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν

Λαμπτῆρες ἀδύτου φωταυγείας, καὶ λύχνοι τῶν νόμων τοῦ Χριστοῦ, καὶ ὁδηγοὶ σωτήριοι, τοῖς πλανωμένοις ὤφθητε, Κύριλλε καὶ Μεθόδιε, ὡς Ἀποστόλων ὁμόζηλοι.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν
Ὁσίαις χερσὶ θεοκινήτως, Φώτιος ὁ μέγιστος φωστήρ, εἰδὼς ὑμῶν τὴν ἔλλαμψιν, ἀπέστειλε μακάριοι, κηρῦξαι τὴν ἀλήθειαν, ἐσκοτισμένοις ἐν ἔθνεσι.
Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς
Νεκρώσας ἐχθρὸς τῇ παραβάσει, Ἀδὰμ τὸν γενάρχην φθονερῶς, τῷ τόκῳ σου νενέκρωται, ἁγνὴ Θεογεννήτρια· Ζωὴν γὰρ ἐνυπόστατον, σωματικῶς ἀπεκύησας.
Ἕτερος Κανὼν τῶν Ἁγίων Κυρίλλου καὶ Μεθοδίου.
Ἦχος πλ δ΄
Ὁ στερεώσας κατ' ἀρχάς.
Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν
Ἁγιασμὸν ὡς ἀληθῶς, τὸ πολλοστὸν ἡμῖν βλύζει, Πάτερ Κύριλλε τοῦ σκήνους σου τμῆμα, ὅπερ δέδωκας ἡμῖν, ὡς δῶρον ἱερώτατον· διὸ τὴν πρὸς ἡμᾶς σου, ἀνακηρύττομεν εὔνοιαν.
Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν
Λελαμπρυσμένοι τῷ φωτί, θεαρχικῶν λαμπηδόνων, Ἰσαπόστολοι Χριστοῦ θεηγόροι, τοῦτον τὸν ναὸν ὑμῶν, ὃν ἄρτι ἐδομήσαμεν, σωτηριώδη ὅρμον, τῶν θλιβομένων ἐργασασθε.
Δόξα...
Οἱ Ἀποστόλων μιμηταί, Μεθόδιε σὺν Κυρίλλῳ, ἐπιβλέψατε ἐν ὄμματι θείῳ, ἐπὶ πάντας τοὺς πιστῶς, τῷ οἴκῳ ὑμῶν σπεύδοντας, καὶ δίδοσθε ἀπαύστως, τούτοις πᾶν αἴτημα Ἅγιοι.
Καὶ νῦν...
Νεκρωμένον μου τὸν νοῦν, τῇ τῶν παθῶν ἐργασίᾳ, ἐξανάστησον τῇ σῇ συμπαθείᾳ, ἡ τεκοῦσα τὴν Ζωήν, Χριστὸν τὸν ὑπεράγαθον, καὶ τοῦτον Θεοτόκε, ῥοπῆς τῆς χείρονος λύτρωσαι.
ΔΙΑΚΟΝΟΣ
Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
ΧΟΡΟΣ:
Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Κύριε, ἐλέησον.
Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ

τῷ Θεῷ παραθώμεθα.
Σοὶ Κύριε.

ΙΕΡΕΥΣ

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

ΧΟΡΟΣ: Ἀμήν.

Διαβάζουμε το Κοντάκιο της εορτής

Κοντάκιον Ἦχος δ'
Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς ἑορτῆς τῆς νομικῆς μεσαζούσης, ὁ τῶν ἁπάντων Ποιητὴς καὶ Δεσπότης, πρὸς τοὺς παρόντας ἔλεγες, Χριστὲ ὁ Θεός· Δεῦτε καὶ ἀρύσασθε, ὕδωρ ἀθανασίας· ὅθεν σοι προσπίπτομεν, καὶ πιστῶς ἐκβοῶμεν· Τοὺς οἰκτιρμούς σου δώρησαι ἡμῖν· σὺ γὰρ ὑπάρχεις πηγὴ τῆς ζωῆς ἡμῶν.

καί ὁ χορός ψάλλει τά Καθίσματα τῆς γ’ ᾠδῆς

Κάθισμα. Ἦχος γ'.
Θείας πίστεως.

Θείας πίστεως λαμπαδουχίᾳ, φῶς ηὐγάσατε, θεογνωσίας, Ἰσαπόστολοι Χριστοῦ παμμακάριστοι, τοῖς ἐν νυκτὶ τῆς ἀπάτης ὑπάρχουσιν, οὓς καὶ ἡμέρας υἱοὺς ἀπεδείξατε, Πάτερ Κύριλλε, καὶ θεῖε ὁμοῦ Μεθόδιε, αἰτούμενοι αὐτοῖς τὸ θεῖον ἔλεος.

Δόξα...

Και νυν... της εορτής

Κάθισμα Ἦχος πλ α'
Τὸν συνάναρχον Λόγον.

Ὁ Δεσπότης τῶν ὅλων ἐν τῷ ναῷ ἑστηκώς, ἑορτῆς μεσαζούσης, Πεντηκοστῆς τῆς σεπτῆς, τοῖς Ἑβραίοις προσλαλῶν, διελέγχει τρανῶς, ἐν παρρησίᾳ πολλῇ, ὡς Βασιλεύς ὢν καὶ Θεός, τὴν τύραννον αὐτῶν τόλμαν, ἡμῖν δὲ πᾶσι δωρεῖται, δι' εὐσπλαγχνίαν τὸ μέγα ἔλεος.

ΔΙΑΚΟΝΟΣ

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ:

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε, ἐλέησον.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν,

Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

ΙΕΡΕΥΣ

Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

Διαβάζουμε το, Κοντάκιο, Οἶκο και Συναξάριο της ημέρας.

Κοντάκιον. Ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἐξ εὐκλεοῦς ἀναβλαστήσαντες ῥίζης, καὶ ἐν ἁπάσῃ παιδευθέντες σοφίᾳ, Θεσσαλονίκης φοίνικες οἱ πάγκαρποι, ὁ θεόφρων Κύριλλος, καὶ Μεθόδιος ἅμα, ὤφθησαν ὁμότροποι, τῶν σοφῶν Ἀποστόλων, καὶ τάς τῶν Σλάβων χώρας ἀληθῶς, θεογνωσίας, φωτὶ κατεφώτισαν.

Οἶκος.

Ἀνακαθάραντες τὸν νοῦν ἀμέμπτῳ πολιτείᾳ, ἐπλήσθητε περιφανῶς τῆς ἐπιπνοίας τοῦ Θεοῦ, πηγῆς ἐξ ἀκενώτου· καὶ τῷ ἱερῷ συνημμένοι Φωτίῳ, τῷ παμφώτῳ τῆς Ἐκκλησίας φωστῆρι, τῆς σοφίας αὐτοῦ μύσται ἀπεφάνθητε, καὶ τῶν λόγων πληρωταὶ θεόληπτοι, παρ' αὐτοῦ γὰρ ἀπεστάλητε, εἰς τὰ ἔθνη τὰ μακράν, ὡς Ἀπόστολοι ἔνθεοι, κηρύξαι τῆς εὐσεβείας τὸ μέγα μυστήριον· τὴν ἐν Χριστῷ ἀπολύτρωσιν, πολιτείας καινῆς τὴν λαμπρότητα, καὶ οὐρανῶν βασιλείας τὰ ἀΐδια ἀγαθά· ὅθεν ποικίλοις πόνοις, καὶ μυρίοις κινδύνοις, πλείστας σλαβικὰς φυλὰς Χριστῷ ἐπεστρέψατε, Κύριλλε πανεύφημε, καὶ Μεθόδιε ἱερώτατε, Θεσσαλονίκης γόνοι λαμπροὶ καὶ ἔνδοξοι, τῆς ἀληθείας εὔσημοι σάλπιγγες, καὶ φωστῆρες παμφαεῖς Εὐαγγελίου τῆς χάριτος· τὸ γὰρ κήρυγμα ὑμῶν, πολλὰς ψυχὰς ἀληθῶς, θεογνωσίας φωτὶ κατεφώτισε.

Συναξάριον

Τῇ ΙΑ' τοῦ μηνός Μαΐου, τὴν ἀνάμνησιν πνευματικῶς ἐπιτελοῦμεν τοῦ Γενεθλίου, ἤτοι τῶν Ἐγκαινίων ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος τῶν πόλεων, τῆς κατ' ἐξαίρετον ἀνακειμένης τῇ Δεσποίνῃ ἡμῶν, καὶ Ἁγίᾳ Θεοτόκῳ, καὶ ὑπ' αὐτῆς διὰ παντὸς σῳζομένης.

Στίχοι

Γενεθλίων σῶν δεῖ με τιμᾶν ἡμέραν,
Ἐν σοὶ Πόλις τυχόντα τῶν γενεθλίων.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Μωκίου.
Στίχοι
Μωκώμενόν σε δεισιδαίμονα πλάνην,
Οἱ δυσσεβεῖς κτείνουσι Μώκιε ξίφει.
Μώκιος ἑνδεκάτῃ κεφαλὴν τμήθη ἀγαθόφρων.
Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Διοσκορίδου ἢ Διοσκόρου.
Στίχοι
Παρ' ἡμέραν ζῆν μῦθος ἦν Διοσκόρους,
Διόσκορος δὲ ζῆν ἀεὶ τμηθεὶς ἔχει.
Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν καὶ αὐταδέλφων Κυρίλλου καὶ Μεθοδίου, τῶν Ἀποστόλων καὶ φωτιστῶν τῶν Σλάβων.
Στίχος
Κύριλλος ἅμα καὶ Μεθόδιος θεῖος
Ὡς φῶς Σλάβοις ὤφθησαν Πνεύματι θείῳ.
Κύριλλός τε Μεθόδιος δεκάτ' ὑμνείσθωσαν ἠδὲ πρώτῃ.
Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.
Και ψάλλονται οι Καταβασίες
Καταβασίες τῆς Μεσοπεντηκοστής
Ἦχος πλ. δ΄
Ὠδὴ α΄
δεξιός χορός
Θάλασσαν ἔπηξας, βυθίσας σὺν ἅρμασι τὸν ἀλαζόνα Φαραὼ καὶ λαὸν διέσωσας ἀβρόχως Κύριε, καὶ εἰσήγαγες αὐτοὺς εἰς ὄρος ἁγιάσματος, βοῶντας· Ἄσωμέν σοι τῷ Θεῷ ἡμῶν, ᾠδὴν ἐπινίκιον, τῷ ἐν πολέμοις κραταιῷ.
Ὠδὴ γ΄
ἀριστερός χορός
Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου,
δεξιός χορός (κατάληξη)
εὐφράνθην ἐν σωτηρίῳ σου.
Ὠδὴ δ΄
ἀριστερός χορός
Ὁ Προφήτης Ἀββακούμ, τοῖς νοεροῖς ὀφθαλμοῖς προεώρα Κύριε, τὴν παρουσίαν σου· διὸ καὶ ἀνέκραζεν· Ἀπὸ Θαιμὰν ἥξει ὁ Θεός· Δόξα τῇ δόξῃ σου Χριστέ, δόξα τῇ συγκαταβάσει σου.

Ὠδὴ ε´

δεξιός χορός

Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν, Κύριε ὁ Θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς, Κύριε, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν τὸ ὄνομά σου ὀνομάζομεν.

Ὠδὴ ς´

ἀριστερός χορός

Ὡς ὕδατα θαλάσσης φιλάνθρωπε, τὰ κύματα τοῦ βίου χειμάζει με· διό, ὡς Ἰωνᾶς σοι κραυγάζω Λόγε· Ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου, εὔσπλαγχνε Κύριε.

Ὠδὴ ζ´

δεξιός χορός

Τῶν Χαλδαίων ἡ κάμινος, πυρὶ φλογιζομένη, ἐδροσίζετο πνεύματι, Θεοῦ ἐπιστασίᾳ, οἱ Παῖδες ὑπέψαλλον· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η´

ἀριστερός χορός

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ἄγγελοι καὶ οὐρανοὶ τὸν ἐπὶ θρόνου δόξης ἐποχούμενον, καὶ ὡς Θεὸν ἀπαύστως δοξαζομενον, εὐλογεῖτε, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΔΙΑΚΟΝΟΣ

Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ Φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

Καὶ ψάλλεται ἡ Τιμιωτέρα στον ίδιο ήχο των καταβασιών.

Ἦχος πλ δ´

Στανίτσας'

Ωδή της θεοτόκου

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεύμά μου ἐπὶ τῶ Θεῷ τῶ σωτήρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ, ἰδοὺ γὰρ ἀπὸ τοῦ νὺν μακαριούσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στανίτσας'

Ὅτι ἐποίησέ μοὶ μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος

αὐτοῦ εἰς γενεάν, καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.




Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραάμ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Κατόπιν ψάλλεται ἡ θ΄ Ωδή των καταβασιών

Καταβασία.

Ὠδὴ θ΄ Ἦχος πλ. δ΄

δεξιός χορός

Ἀλλότριον τῶν μητέρων ἡ παρθενία, καὶ ξένον ταῖς παρθένοις ἡ παιδοποιΐα· ἐπὶ σοὶ Θεοτόκε, ἀμφότερα ᾠκονομήθη· διό σε πᾶσαι αἱ φυλαὶ τῆς γῆς ἀπαύστως μακαρίζομεν.

Μετὰ τὴν καταβασίαν τῆς θ' ᾠδῆς, γίνεται ἡ ὡρισμένη αἴτησις

ΔΙΑΚΟΝΟΣ

Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ:

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...

Κύριε, ἐλέησον.

Τῆς Παναγίας, ἀχράντου...

Σοὶ Κύριε.

ΙΕΡΕΥΣ

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν...

ΧΟΡΟΣ: Ἀμήν.

## Εἶτα ψάλλονται τὰ Ἐξαποστειλάρια

**Ἐξαποστειλάριον τῶν Ἁγίων**

**Ὁ οὐρανὸν τοῖς ἄστροις.**

**Οἱ παμφαεῖς φωστῆρες, Εὐαγγελίου τοῦ Χριστοῦ, Μεθόδιος ὁ θεόφρων, σὺν τῷ Κυρίλλῳ τῷ σοφῷ, ὑμνείσθωσαν χαρμοσύνως, ὡς Ἰσαπόστολοι θεῖοι.**

**Ἐξαποστειλάριον τῆς Μεσοπεντηκοστῆς**

**Ὁ οὐρανὸν τοῖς ἄστροις.**

**Ὁ τὸν κρατῆρα ἔχων, τῶν ἀκενώτων δωρεῶν, δός μοι ἀρύσασθαι ὕδωρ, εἰς ἄφεσιν ἁμαρτιῶν, ὅτι συνέχομαι δίψῃ, εὔσπλαγχνε μόνε οἰκτίρμον.**

**Αἶνοι**

**Ψαλμὸς 148(ΡΜΗ)**

**Ἦχος α´**

Επίλεξε ή PAUSE

**Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς Ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῶ Θεῷ.**

**Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτόν, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ, Σοὶ πρέπει ὕμνος τῶ Θεῷ.**

**Εἰς τοὺς Α ἲ ν ο υ ς, Ἱστῶμεν Στίχους 4 καὶ ψάλλομεν**

**και τὰ ἑξῆς Προσόμοια τῶν Ἁγίων.**

**Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.**

**Στίχος. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.**

**Τοὺς εὐκλεεῖς αὐταδέλφους, καὶ Ἀποστόλους Χριστοῦ, τὰ τῆς Θεσσαλονίκης εὐωδέστατα κρίνα, Μεθόδιον τὸν μέγαν καὶ τὸν κλεινόν, μακαρίσωμεν Κύριλλον, ὡς ἐπὶ χώρας ἀπίστων τὸ θεῖον φῶς, εὐσεβείας ἀνατείλαντας.**

**Στίχος. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρα.**

**Τῷ θεηγόρῳ Φωτίῳ μυσταγωγούμενοι, τὴν πρὸς Βορρᾶν πορείαν, ἐπορεύθητε ἅμα, καὶ ἔθνη τὰ ἐκεῖσε τῷ φωτισμῷ, τῆς Χριστοῦ ἐπιγνώσεως, υἱοθετήσατε χαίροντες τῷ Θεῷ, Ἰσαπόστολοι μακάριοι.**

**Στίχος. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνω.**

**Ἱεραρχίας τὴν χλαῖναν περιβαλλόμενος, τῆς Μοραβίας θεῖος, ποιμενάρχης ἐγένου, Μεθόδιε θέοφρον μύστα Χριστοῦ, ἐν τῇ Ῥώμῃ δὲ Κύριλλε, καλῶς**

τελέσας τὸν δρόμον τὸν ἱερόν, τοῖς Ἁγίοις συνηρίθμησαι.

Στίχος. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Θεσσαλονίκη χορεύει ἐπὶ τῇ μνήμῃ ὑμῶν, καὶ πίστει συνελθοῦσα, τῷ σεπτῷ ὑμῶν οἴκῳ, ἀγῶνας καὶ τοὺς πόνους ὑμῶν τοὺς λαμπρούς, μακαρίζει κραυγάζουσα· Χαίρετε θεῖοι αὐτάδελφοι καὶ σοφοί, ὦ Μεθόδιε καὶ Κύριλλε.

Δόξα...

Ἦχος πλ α'

Εὐαγγελίου τὸν λόγον, ἀμυήτοις λαοῖς κηρύξαντες, πρὸς σωτηρίας λιμένα ἰθύνατε, τοὺς ἐν τῇ πλάνῃ χειμαζομένους· ἀποστολικῷ γὰρ ζήλῳ, πόνοις καὶ ἀγῶσιν, ἑαυτοὺς ἐξεδώκατε, ὑπὲρ τῆς τῶν πολλῶν ἀγάπης, ὡς τοῦ Σωτῆρος μιμηταί· καὶ τῷ αἵματι αὐτοῦ, τῶν πιστευσάντων τὰς ψυχὰς σφραγίσαντες, Ἐκκλησιῶν νυμφοστόλοι, καὶ νυμφαγωγοὶ σοφοὶ ἐδείχθητε. Ἀλλ' ὦ Μεθόδιε καὶ Κύριλλε, Ἰσαπόστολοι ἔνδοξοι, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νύν... της εορτής

Ἦχος πλ. δ'

Μεσούσης τῆς ἑορτῆς τοῦ Πάσχα, ἐν τῷ ναῷ ἀνῆλθες τοῦ Ἱεροῦ ὁ Σωτὴρ ἡμῶν, καὶ στὰς ἐν μέσῳ τοῦ ὄχλου, ἐδίδασκες αὐτοὺς παρρησίᾳ καὶ ἔλεγες· Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἐμοι ἀκολουθῶν, οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ἀθανάτου ζωῆς.

Σύμφωνα με το άγραφο τυπικό, η δοξολογία σήμερα ψάλλεται στον ήχο του δοξαστικού.




ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δόξα σοὶ τῶ δείξαντι τὸ φῶς, Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνούμέν σε, εὐλογούμέν σε, προσκυνούμέν σε, δοξολογούμέν σε, εὐχαριστούμέν σοί, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα,

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιὰ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ

Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρα ταύτη, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε. δίδαξόν με τὰ δικαιώματά σου (γ').

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεά, Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοί.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοὶς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ').

Δόξα... Καὶ νύν...

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπολυτίκιον τῶν Ἁγίων.

Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Ἀποστόλων τὸν ζῆλον ἐπιδειξάμενοι, ἐπὶ τὰς χώρας τῶν Σλάβων Εὐαγγελίου τὸ φῶς, διηυγάσατε λαμπρῶς θείῳ κηρύγματι, Θεσσαλονίκης οἱ βλαστοί, καὶ ἀστέρες φαεινοί, Μεθόδιε σὺν Κυρίλλῳ, αὐτάδελφοι θεηγόροι, Ἐκκλησιῶν ἡ σεμνοπρέπεια.

[Δόξα... Καὶ νῦν...]

Ἀπολυτίκιον Ἦχος πλ δ'

Μεσούσης τῆς ἑορτῆς, διψῶσάν μου τὴν ψυχήν, εὐσεβείας πότισον νάματα ὅτι πᾶσι Σωτὴρ ἐβόησας· ὁ διψῶν, ἐρχέσθω πρός με καὶ πινέτω· Ἡ πηγὴ τῆς ζωῆς, Χριστὲ ὁ Θεὸς δόξα σοι.

Ἐν ταῖς ἐνορίαις αἱ αἰτήσεις σύν τῇ Μεγάλῃ Ἀπολύσει τοῦ Ὄρθρου λέγονται μυστικῶς ἀπὸ τὸν Ἱερέαν καὶ τὸν Διάκονον ὅταν ἄρχεται ἡ Μεγάλη Δοξολογία.

Τέλος του Όρθρου καὶ ἄρχεται η θεία Λειτουργία

///////////////////

**Συμπλήρωμα κατά περίπτωση**

## ΑΠΟΣΤΟΛΟΣ

**Εορτής ημέρας.**

**Τῶν Ἁγίων ἰσαποστόλων Κυρίλλου καὶ Μεθοδίου**

**Προκείμενον. Ἦχος πλ. δ'.**

**Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν...**

**Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ...**

**Πρὸς Ρωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα**

**10:11-21; 11:1-2**

**Ἀδελφοί, λέγει ἡ γραφή· «Πᾶς ὁ πιστεύων ἐπί τῷ Θεῷ οὐ καταισχυνθήσεται». Οὐ γὰρ ἔστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος· ὁ γὰρ αὐτὸς Κύριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν· «Πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται». Πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; Πῶς δὲ πιστεύσουσιν οὗ οὐκ ἤκουσαν; Πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος; Πῶς δὲ κηρύξουσιν ἐὰν μὴ ἀποσταλῶσι; Καθὼς γέγραπται· «Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά!». Ἀλλ᾽ οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ· Ἡσαΐας γὰρ λέγει· «Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;». Ἄρα ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ρήματος Θεοῦ. Ἀλλὰ λέγω μὴ οὐκ ἤκουσαν; Μενοῦνγε «εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν». Ἀλλὰ λέγω, μὴ οὐκ ἔγνω, Ἰσραήλ; Πρῶτος Μωϋσῆς λέγει· «Ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ᾽ οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς». Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει· «Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι». Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει· «Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα». Λέγω οὖν, μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ; Μὴ γένοιτο· καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμί, ἐκ σπέρματος Ἀβραάμ, φυλῆς Βενιαμίν. Οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω.**

**Ἀλληλούϊα (γ΄) Ἦχος β΄**

**Στίχ.1 Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν.**

**Στίχ.2 Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ.**

~

## ΕΥΑΓΓΕΛΙΟΝ

**Εορτής ημέρας.**

**Τῶν Ἁγίων ἰσαποστόλων Κυρίλλου καὶ Μεθοδίου**

Ἐκ τοῦ κατὰ Ματθαῖον
ε΄ 14 - 19

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσιν τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι ἀλλὰ πληρῶσαι. ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου ἕως ἂν πάντα γένηται. ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτως τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

~

ΕΚΤΕΝΗΣ ΔΕΗΣΗ (εκφώνως)

ΔΙΑΚΟΝΟΣ

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν, εἴπωμεν.

ΧΟΡΟΣ:

Κύριε, ἐλέησον.

Κύριε, Παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν...

Κύριε, ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου...

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων χριστιανῶν.

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (...).

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἱερέων...

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας...

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀειμνήστων κτιτόρων...

Κύριε, ἐλέησον. (γ΄)

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων...

Κύριε, ἐλέησον.

**ΙΕΡΕΥΣ**

**Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις...**

**ΧΟΡΟΣ:**

**Ἀμήν.**

**ΔΙΑΚΟΝΟΣ**

**Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.**

**Κύριε, ἐλέησον.**

**Ἀντιλαβοῦ, σῶσον, ἐλέησον...**

**Κύριε, ἐλέησον.**

**Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν...**

**Παράσχου Κύριε.**

**Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν...**

**Παράσχου Κύριε.**

**Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν...**

**Παράσχου Κύριε.**

**Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν...**

**Παράσχου Κύριε.**

**Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν...**

**Παράσχου Κύριε.**

**Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν...**

**Παράσχου Κύριε.**

**Τῆς Παναγίας, ἀχράντου...**

**Σοὶ Κύριε.**

**ΙΕΡΕΥΣ**

**Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις...**

**ΧΟΡΟΣ:**

**Ἀμήν.**

**ΙΕΡΕΥΣ:**

**Εἰρήνη πᾶσι.**

**Καὶ τῷ Πνεύματί σου.**

**ΔΙΑΚΟΝΟΣ:**

**Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.**

**ΙΕΡΕΥΣ**

**Κύριε, Ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν...**

**Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σῴζειν ἡμᾶς...**

**ΧΟΡΟΣ:**

Ἀμήν.

ΔΙΑΚΟΝΟΣ:

Σοφία

ΙΕΡΕΥΣ:

Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν...

ΔΙΑΚΟΝΟΣ ἢ ΑΝΑΓΝΩΣΤΗΣ:

Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ τῇ κώμῃ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

Και ευθύς αναγινώσκεται η πρώτη Ώρα από το Δεύτε προσκυνήσωμεν.

~~~~~~~~~~~~~~~~~~~~~~~~~~

Ει δε μή, γίνεται απόλυσις ως εξής:

ΙΕΡΕΥΣ:

Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι.

ΔΙΑΚΟΝΟΣ ἢ ΧΟΡΟΣ:

Δόξα... Καὶ νῦν... , Κύριε ἐλέησον (γ'), πάτερ ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ

(μεγάλη ἀπόλυσις)

Ὁ ἀναστὰς ἐκ νεκρῶν, Χριστός ὁ ἀληθινός Θεός ἡμῶν,

ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, (τοῦ Ἁγίου τοῦ Ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τῶν Ἁγίων, ἐνδόξων ἰσαποστόλων καὶ αὐταδέλφων Κυρίλλου καὶ Μεθοδίου, τῶν Θεσσαλονικέων, φωτιστῶν τῶν Σλάβων,

ὧν καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμάς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

ΙΕΡΕΥΣ

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας,
καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

ΧΟΡΟΣ:

Αληθώς ανέστη ο Κύριος
~~~~~~~~~~~~~~~~~~~~~~~~~~

**ή Ζωὴν χαρισάμενος.**

/////////////////

## Τέλος του Όρθρου